ὧν σπεύδει πεῖσαι· εἰ δὲ καὶ οἶδεν αὐτούς, οὐκ εἰσὶ τελικοὶ ἀλλ' ὀργανικοί· καὶ πάλιν ἡ πειθὼ οὐκ ἔστιν δικαία ἀλλὰ ἄδικος· ἄλλως τε ἡ τέχνη κανόνα θέλει ἔχειν ἀστραβῆ, δι' οὗ τὰ ὑποβεβλημένα αὐτῇ φυλάττει· ἡ δὲ ῥητορικὴ διαφθείρει τὸν ἴδιον κανόνα· κανὼν δὲ αὐτῆς ὁ δικαστής· σπεύδει οὖν ἀπατῆσαι αὐτὸν ἐλεεινολογουμένη· ὡσαύτως καὶ νόμους παραβαίνει κατὰ ῥητὸν καὶ διάνοιαν λέγουσα, ὅτι ἡ διάνοια ἄλλη ἐστὶ τοῦ νόμου· οὕτως μὲν οὖν ἐστὶ τέχνη καὶ οὐκ ἔστιν.

3 ἐπειδὴ δ' ὁ Σωκράτης σποραδικῶς ἀποδέδωκε τὸν ὁρισμὸν τῆς ῥητορικῆς, δεῖ ἡμᾶς συναγαγεῖν αὐτὸν καὶ εἰπεῖν οὕτως· ὅτι ἔστι τρία ταῦτα· ἐπιστήμη, τέχνη, ἐμπειρία, καὶ ἐπιστήμη μὲν τέχνης διαφέρει τῷ ὑποκειμένῳ, ὅτι τῇ μὲν ἐπιστήμῃ ἀίδια καὶ ἄπταιστα ὑπόκειται ὡς τῇ γεωμετρίᾳ, τῇ δὲ τέχνῃ ῥευστὰ καὶ ἄλλοτε ἄλλως ἔχοντα. καὶ διὰ τοῦτο τῶν ὡς ἐπὶ τὸ πολὺ αἱ τέχναι. πάλιν τέχνη ἐμπειρίας διαφέρει, ὅτι ἡ μὲν τέχνη ὥσπερ καὶ ἡ ἐπιστήμη ἀποδίδωσι τὰς αἰτίας, ἡ δὲ ἐμπειρία οὔ. τούτων οὕτως ἐχόντων ἰστέον, ὅτι ἔστιν ἐπιτήδευσις ἐν τῇ ψυχῇ, ἐπιτήδευσις δὲ λέγεται παρὰ τὸ ἐπιτηδείως ἔχειν τόδε τι ποιῆσαι· δεῖ τοίνυν εἰδέναι, ὅτι τῆς ψυχῆς δυνάμεις δύο, αἱ μὲν γνωστικαί, αἱ δὲ ζωτικαὶ καὶ ὀρεκτικαί· γνωστικαὶ μὲν οὖν εἰσὶ νοῦς, διάνοια, δόξα, φαντασία, αἴσθησις, ὀρεκτικαὶ δὲ θυμός, ἐπιθυμία, βούλησις. ἐν μὲν οὖν τῇ γνώσει θεωρεῖται ἡ ἐμπειρία, ἐν δὲ τῇ ζωῇ ἡ κολακεία· εἰ μὲν οὖν ὑπ' ἄλληλα ἦσαν ταῦτα ἥ τε ἐμπειρία καὶ ἡ κολακεία, καλῶς ἂν ἀμφότερα ἅμα παρελαμβάνομεν, ὥσπερ τὸν ἄνθρωπον ὑπὸ τὸ ζῷον καὶ τὴν οὐσίαν, ἐπειδὴ καὶ τὸ ζῷον οὐσία· ἐπειδὴ δὲ διάφορά εἰσι, πῶς ἅμα· ὅτι δὲ ὑπὸ τὸ αὐτὸ γένος οὐκ εἰσὶ δῆλον· οὐδὲ γὰρ ἡ ἐμπειρία πάντως καὶ κολακεία, οὕτω γ' οὖν ὁ ἐμπειρικὸς ἰατρὸς καὶ καίει καὶ τέμνει μὴ πρὸς κολακείαν ὁρῶν, οὐδὲ ὁ κόλαξ ἐμπειρικός ἐστιν· ἀμέλει ἀπείρως φερόμενος, ἔστιν ὅτε καὶ μισεῖται καὶ ἐκβάλλεται· καὶ γίνωσκε θαυμαστὸν θεώρημα, ὅτι τοσοῦτον

---

1 mg.

| | | |
|---|---|---|
| γνώσεις | ὑποκείμενα | τρόποι |
| ἐπιστήμη | ἀίδια ὡσαύτως ἔχοντα | μετ' αἰτίας |
| τέχνη | ῥευστὰ ἄλλοτε ἄλλως ἔχοντα | μετ' αἰτίας |
| ἐμπειρία | ῥευστὰ ἄλλοτε ἄλλως | ἄνευ αἰτίας |

32 mg. ση. τὴν διαφορὰν φίλου καὶ κόλακος